www.tezaurliturgic.ro

ΕΓΚΩΜΙΑ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ

ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Μακαρίζομέν σε, Ἐκκλησίας Χριστοῦ, τόν λαμπρόν ἀστραπηφόρον ἀδάμαντα, ὦ Δημήτριε μαρτύρων καλλονή.

Μακαρίζομέν σε, Ἀθλοφόρε Χριστοῦ, τό τερπνόν Θεσσαλονίκης ἀγλάϊσμα καί ἀκοίμητον προστάτην καί φρουρόν.

Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον

Ἀθλητῶν οἱ δῆμοι, καί μαρτύρων χοροί, συνευφραίνονται τῇ θείᾳ κοιμήσει σου, μεγαλύνοντες Χριστόν τόν Λυτρωτήν.

Βασιλείας ὄντως καί ἀφθάρτου τρυφῆς, κατηξίωσαι τρισμάκαρ Δημήτριε ἐναθλήσας ἐν σταδίῳ πανσθενῶς.

Γήϊνος ὑπάρχων καί ἐν κάλλει λαμπρός, οὐκ ἐφρόντισας σαρκός ἡδυπάθειαν, ἀλλ' ἐδόθης τῷ Χριστῷ ὁλοσχερῶς.

Δημητρίου θείαις, εὐπροσδέκτοις εὐχαῖς, τήν Ἑλλάδα ὁ Θεός διαφύλαξον, ἐξ αἱρέσεων παντοίων καί δεινῶν.

www.tezaurliturgic.ro

Ἔχων θεῖον ὅπλον, τόν Κυρίου Σταυρόν, τῶν δαιμόνων ἐτροπώσω τάς φάλαγγας, τροπαιοῦχος νικητής ἀναδειχθείς.

Ζηλωτής τοῦ πάθους, γεγονώς τοῦ Χριστοῦ, ἐλογχεύθης τάς πλευράς σου Δημήτριε, ἀνελθών ἀπό τῆς γῆς εἰς οὐρανούς.

Ἡ Θεσσαλονίκη σέ προστάτην θερμόν, κεκτημένη ἐσαεί διασώζεται ἐκ παντοίας τῶν ἐχθρῶν ἐπιδρομῆς.

Θεῖον ἰατρεῖον καί θαυμάτων πηγήν, τόν πανέντιμον ἀνέδειξε τάφον σου ὁ δοξάζων τούς δοξάζοντας αὐτόν.

Ἱλαρός τοῖς τρόποις, ἱλαρός τήν ψυχήν, ἱλαρός ὑπάρχων ἔργοις Δημήτριε, γῆν πραέων ἠξιώθης κατοικεῖν.

Καθαρᾷ καρδίᾳ, ἀθλοφόρε σοφέ, καί τῷ πνεύματι Δημήτριε ζέοντι ἀνεκήρυξας τοῖς πᾶσι τόν Χριστόν.

Λύτρωσαι κινδύνων, συμφορῶν καί δεινῶν καί ἐκ θλίψεων παντοίων Δημήτριε, τούς προστρέχοντας τῇ σκέπῃ σου θερμῶς.

Μύρον πανευῶδες ἀναβρύει σοφέ, ὁ πανίερος σου τάφος Δημήτριε κατευφραῖνον τάς ψυχάς τῶν εὐσεβῶν.

Νέκρωσιν ὑπέστης, ἐναθλήσας στερρῶς, ἀλλά ζῇς ἐν οὐρανοῖς ὦ Δημήτριε, εὐφραινόμενος μαρτύρων τοῖς χοροῖς.

Ξόανα εἰδώλων, σαῖς εὐχαῖς καθελών, πρός Χριστοῦ δόξαν καί αἶνον Δημήτριε, ᾠκοδόμησας ναούς πνευματικούς.

www.tezaurliturgic.ro

Ολοψύχως μάκαρ, ἀγαπήσας Χριστόν, σοῦ τάς σάρκας τοῖς ἀνόμοις παρέδωκας, καί ἀνῆλθες πρός αὐτόν περιχαρῶς.

Παντευχίαν μάκαρ, κεκτημένος τήν σήν, τόν Λυαῖον ὡς στρουθίον Δημήτριε, συνετρίψατο ὁ Νέστωρ πανσθενῶς.

Ρωμαλαῖος ὄντως, σώματι καί ψυχῇ, ὡς νηπίων βέλη μάκαρ λελόγισαι τῶν νυττόντων σου, ταῖς λόγχαις τάς πλευράς.

Στηριχθείς τῇ πέτρᾳ, τῶν Χριστοῦ ἐντολῶν, οὐκ' ἐκάμφθης ταῖς βασάνοις Δημήτριε, ἀλλ' ἐνήθλησας στερρῶς καί ἀκλινῶς.

Τίς ἐξείπει μάκαρ, τούς ἀγῶνας τούς σούς, ἀθλοφόρε Μυροβλύτα Δημήτριε, οὕς ὑπέστης δι' ἀγάπην τοῦ Χριστοῦ.

Υμνους παννυχίους, ὕμνους θεοτερπεῖς, ἐν τῇ μνήμῃ σου τρισμάκαρ Δημήτριε, ἀναμέλπομεν πρός δόξαν τοῦ Θεοῦ.

Φωταυγεῖς πεμφθέντες, ἄγγελοι ἐκ Θεοῦ, σέ ἐνίσχυον ἀθλοῦντα καί ἔλαβον, τήν ὁλόφωτον καί θείαν σου ψυχήν.

Χαίρει καί κομπάζει, ἡ πατρίς σου σοφέ, ὁ Δημήτριος ἐμόν πέλει βλάστημα, φιλανθρώπως ἐκ Θεοῦ ἐμοί δοθέν.

Ψάλλοντά με δέξαι; πενιχράν σοι ὠδήν καί Χριστόν ὑπέρ ἡμῶν καθικέτευε, τῶν τιμώντων σε Δημήτριε σοφέ.

Ως πηγή ἐκβλύζει, ἰαμάτων κρουνούς, ἡ πανσέβαστος εἰκών σου Δημήτριε, τοῖς προστρέχουσι ἐν πίστει ἀληθεῖ.

www.tezaurliturgic.ro

Δόξα Πατρί...

Ἡ ὑπό ἀγγέλων ὑμνουμένη Τριάς. Πάτερ Λόγε καί τό Πνεῦμα τό Ἅγιον, Δημητρίου ταῖς λιταῖς σῶσον ἡμᾶς.

Καί νῦν

Ἡ ἁγιωτέρα τῶν ἁγίων Θεοῦ, Παναγία Θεοτόκε ἱκέτευε, τόν Υἱόν σου οἰκτειρῆσαι καί ἡμᾶς.

καί πάλιν τό πρῶτον

Μακαρίζομέν σε, Ἐκκλησίας Χριστοῦ, τόν λαμπρόν ἀστραπηφόρον ἀδάμαντα. Ὦ Δημήτριε μαρτύρων καλλονή.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Ἄξιον ἐστί, τόν Δημήτριον ὑμνολογεῖν σε, τόν Θεσσαλονίκης ὑπέρμαχον, ἀντιλήπτορα καί μέγαν βοηθόν.

Ἄξιον ἐστί, σέ Δημήτριε ὕμνοις γεραίρειν, τῆς Ὀρθοδοξίας τόν πρύτανιν καί μαρτύρων ἀκροθήνιον λαμπρόν.

Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον

Ἄνω σε σοφέ, Ἐκκλησία ἡ τῶν πρωτοτόκων, τά σεπτά ἐξάδει σου τρόπαια, καί ἡ κάτω τῶν θαυμάτων τήν πληθύν.

Βάρβαροι ἐχθροί, τήν σήν πόλιν κεκυριευκότες, τούτους ἐτροπώσω Δημήτριε, στρατιώτης ἔφιππος ἐπιφανείς.

www.tezaurliturgic.ro

Γέρα ἐκ Θεοῦ, ὦ Δημήτριε ἐδέξω θεῖα, μῦρον ἀναβλύσας πανεύοσμον, ἀπελαῦνον δυσωδίαν τῶν παθῶν.

Δεῦτε οἱ πιστοί, ἀνυμνήσωμεν μετ' ἐγκωμίων, μνήμην Δημητρίου τοῦ μάρτυρος, ἵνα σχῶμεν τοῦτον πρέσβυν πρός Θεόν.

Ἔχουσα θερμόν, ἀντιλήπτορα Θεσσαλονίκη, σαῖς πρεσβείαις μάκαρ Δημήτριε διασώζεται παντοίων συμφορῶν.

Ζῆς ἐν οὐρανοῖς, ὦ Δημήτριε σύν τοῖς ἁγίοις, ὡς φησί Χριστός ἡ ἀλήθεια, ἐμφορούμενος φωτός ζωαρχικοῦ.

Ἠύγασαν φαιδρῶς, τῶν θαυμάτων σου αἱ δαδουχίαι, δι' ὧν σε Χριστός ἐθαυμάστωσε, ὦ Δημήτριε θαυμάτων αὐτουργέ.

Θρόνῳ τοῦ Θεοῦ, παριστάμενος σύν ἀθλοφόροις, Ἅγιε Δημήτριε πρέσβευε, δυσωποῦμέν σε, τοῦ σώζεσθαι ἡμᾶς.

Ἰνδαλμα τερπνόν, ἀνεδείχθης τῆς Ὀρθοδοξίας, ὅθεν δι' αὐτό μεγάλως καυχώμεθα, καί δοξάζομεν τῷ δόντι σοι ἰσχύν.

Κάθαρον ἡμῶν, τάς κηλίδας τῶν παθῶν τρισμάκαρ, μύρων σου ρανίσι, Δημήτριε, καθαρούς ἡμᾶς προσάγων τῷ Χριστῷ.

Λόγχαις τάς πλευράς, κεντηθείς ὥσπερ ὁ Ζωοδότης πρός αὐτόν χαίρων τρισμάκαρ ἀνέδραμες, ὅν ἱκέτευε σωθῆναι καί ἡμᾶς.

Μέγας ἀληθῶς, φρουρός ἔξαρχος Θεσσαλονίκης, ἀνεδείχθης μάρτυς Δημήτριε, καί αὐτήν διαφυλάττεις ἀσινῆ.

www.tezaurliturgic.ro

Νεῦσον πρός ἡμᾶς, ὦ Δημήτριε τούς σέ τιμῶντας, καί τάς Θείας χεῖρας σου ἔκτεινον, καί εὐλόγησον ἡμᾶς ἐξ οὐρανοῦ.

Ξόανα κωφά, καί ἀναίσθητα εἴδωλα εἶναι, τούς Θεούς τῆς πλάνης ἀπέδειξας, τόν Χριστόν ὁμολογήσας εὐθαρσῶς.

Ολη ἡ Τριάς, εἰσοικήσασα, ἐν τῇ ψυχῇ σου, παρά σοί Μονήν ἐποιήσατο, καί εἰς ἄνω σέ εἰσήγαγε Μονάς.

Πάντες οἱ πιστοί, εὐφημήσωμεν ἄσμασι θείοις, ἀθλητῶν τό μέγιστον ἔρεισμα, καί Ἑλλάδος τόν ὑπέρτιμον βλαστόν.

Ρῦσαι ἐξ ἐχθρῶν, μάκαρ πόλιν τῆς Θεσσαλονίκης, μάρτυς Μυροβλῦτα Δημήτριε, τῶν ζητούντων ἀφανῆσαι παντελῶς.

Στῦλος ἀκλινής ἀνεδείχθης, τῆς ὀρθοδοξίας καί διαφυλάττεις ἀσάλευτον, ὦ Δημήτριε, εὐχαῖς σου πρός Θεόν.

Τάφῳ ἐγκλεισθέν, τό σεπτόν καί ἅγιον σου σῶμα, μύρον πανευφρόσυνον ἔβλυσε, εὐδοκία καί δυνάμει τοῦ Χριστοῦ.

Υμνους ἱερούς, νῦν πρασάδωμέν σοι, Μυροβλῦτα, ἵνα ταῖς πρεσβείαις σου τύχωμεν, τῆς τρυφῆς τοῦ Παραδείσου καί χαρᾶς.

Φώτισον ἡμῶν, τάς ψυχάς καί τάς καρδίας μάκαρ, τῷ φωτί τῆς θείας ἐλλάμψεως, ὧν ἀνάπλεως φωτός τρισσολαμποῦς.

Χαίροις τό τερπνόν, ἐγκαλώπισμα Θεσσαλονίκης, τῶν Χριστοῦ Μαρτύρων ἀγλάϊσμα, καί ἡμῶν τῶν σέ ὑμνούντων χαρμονή.

www.tezaurliturgic.ro

Ψάλλων ἀπαυστί, σύν μαρτύρων τοῦ Χριστοῦ τούς ὕμνους, τῇ Τρισυποστάτῳ Θεότητι, ἐκδυσώπει διασώζεσθαι ἡμᾶς.

Ὠδυάς σεπτή, τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων, Νέστωρ καί τρισμάκαρ Δημήτριε, δυσωπεῖτε ἐκτενῶς ὑπέρ ἡμῶν.

Δόξα Πατρι.

Ἀναρχε Τριάς, προαιώνιε κυριαρχία, ἅπαντα τόν κόσμον ἐλέησον Δημητρίου ἱκεσίαις τοῦ κλεινοῦ.

Καί νῦν

Μῆτερ τοῦ Θεοῦ, ἀειπάρθενε εὐλογημένη, σύν τῷ Δημητρίῳ ἱκέτευε τόν Υἱόν σου, ὑπέρ πάντων τῶν πιστῶν.

καί πάλιν τό πρῶτον

Ἄξιον ἐστί, τόν Δημήτριον ὑμνολογεῖν σε, τῆς Θεσσαλονίκης ὑπέρμαχον, ἀντιλήπτορα καί μέγαν βοηθόν.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Αἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, Δημήτριον τόν μέγαν.

Αἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, τόν θεῖον Μυροβλύτην.

Ἡ ἀκροστιχίς κατ' ἀλφάβητον

Ἀθλήσας θαρσαλέως, Δημήτριε ἐδέξω, τά γέρα ἐκ Κυρίου.

www.tezaurliturgic.ro

Β ασίλειον πορφύραν, στολισθείς τῶν ἄθλων, Χριστῷ συμβασιλεύεις.

Γ αλήνιος καί πράος, ὡράθης ἐν τοῖς ἄθλοις, Δημήτριε τρισμάκαρ.

Δ ημήτριε λιταῖς σου, τράνωσον τήν πίστιν, ἡμῶν τῶν Ὀρθοδόξων.

Ε σβεσας τήν φλόγα, τῆς εἰδωλομανίας, αἱμάτων σου τοῖς ρείθροις.

Ζ εῦγος θεοφόρον, Δημήτριε καί Νέστωρ, ἡμᾶς περιφρουρεῖτε.

Η ρως ἀνεδείχθης, Δημήτριε παμμάκαρ, γενναίως ἐναθλήσας.

Θ εσσαλονικέων, λαμπροφορεῖ ἡ πόλις, ἐν τῇ λαμπρᾷ σου μνήμῃ.

Ι λέωσαι τόν Κτίστην εὐχαῖς σου Μυροβλῦτα ὑπέρ τῶν ἐπταικότων.

Κ όσμου τά ἡδέα, Δημήτριε μισήσας, τρυφᾶς τῶν αἰωνίων.

Λ όγχαις ἐκεντήθης, μιμούμενος τό πάθος, Χριστοῦ τοῦ Βασιλέως.

Μ ύρων σου τοῖς ρείθροις, κάθαρον τόν νοῦν μου, ὑμνεῖν σε Μυροβλῦτα.

Ν έοι καί πρεσβῦται, ὑμνήσωμεν τήν μνήμην, τοῦ Θείου Δημητρίου.

Ξ όανα συντρίψας, Δημήτριε εἰδώλων, ναούς Χριστοῦ ἐγείρεις.

Ο ὐράνιαι δυνάμεις, ἐξίσταντο, ὁρῶσαι, τούς ἱερούς σου ἄθλους.

Π άντες προσιόντες, τῇ θείᾳ σου εἰκόνι, ἀντλοῦμεν εὐλογίαν.

www.tezaurliturgic.ro

Ρ ῦσαι πάσης βλάβης, λοιμοῦ, σεισμῶν, κινδύνω, τού σέ παρακαλοῦντας.

Σ ῶσον με Σωτήρ μου, βυθοῦ ἁμαρτημάτων, πρεσβείαις Δημητρίου.

Τ ίς ἐξείπει μάρτυς, εὐκλεεῖς ἀγῶνας, δι' ὧν ἐτελειώθης.

Υ περιδών τοῦ κόσμου, νομίμως ἐναθλήσας, ἀγγέλοις συναγάλλη.

Φ ωτός ὑπερκοσμίου, ὧν πεπληρωμένος, τούς πάντας καταυγάζεις.

Χ αίροις ἀθλοφόρων, καύχημα καί κλέος, Δημήτριε τρισμάκαρ.

Ψ αλμοῖς καί ἐγκωμίοις, στέψωμεν προφρόνως, τήν μνήμην Δημητρίου.

Ω ς μύρον εὐωδίας, ἀρώματα προσφέρω. σοί θεῖε Μυροβλῦτα.

Δόξα Πατρί...

Τ ρισήλιε Θεότης, φωτί τῷ τριλαμπεῖ σου, καταύγασον τόν κόσμον.

Καί νῦν

Π αρθένε ἡ τεκοῦσα, τό φῶς τό πρό αἰώνων, φωτός ἀξίωσόν με.

καί πάλιν τό πρῶτον

Α ἱ γενεαί πᾶσαι, μακαρίζομέν σε, Δημήτριον τόν μέγαν.

www.tezaurliturgic.ro

ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογητός εἶ Κύριε, δίδαξόν με Δημήτριον ὑμνῆσαι.

Ἀσωμάτων αἱ τάξεις καί βροτῶν καθορῶσαι ἐξαπλάγησαν μάκαρ, τό μαρτύριον τό σόν, ὑπό λόγχαις τρωθέντα, ὥσπερ ὁ Σωτήρ τάς πλευράς Δημήτριε. Ὅν ἀεί δυσώπει ἡμᾶς λυτρώσασθαι.

Εὐλογητός εἶ Κύριε, δίδαξόν με τόν Μυροβλύτην μέλψαι.

Τί δακρύων ὀχετούς προχέετε, Θεσσαλονικεῖς τῷ Δημητρίῳ τῷ ἡμῶν πολιούχῳ, λυτρωτῇ καί σωτῆρι, ἴδετε αὐτοῦ τά γενναῖα τρόπαια καί ἀγαλλιᾶσθε, Χριστόν δοξάζοντες.

Εὐλογητός εἶ Κύριε, δίδαξόν με, Δημήτριον δοξᾶσαι.

Λίαν θερμῶς, ὁ κλεινός Δημήτριος, ἐπιφαίνεται, ἐν τοῖς πολέμοις καί τήν πόλιν αὐτοῦ, ἐκ βαρβάρων λυτροῦται, δεῦτε καί ἡμεῖς αὐτόν ἱκετεύσωμεν, βοηθός ἡμῖν γενοῦ Ἅγιε Δημήτριε.

Εὐλογητός εἶ Κύριε, δίδαξόν με, τόν Μυροβλύτην ἆσαι.

Μυροθήκη ὑπάρχει, σοῦ ὁ πάνσεπτος τάφος, ὦ Δημήτριε μάρτυς, τῇ δυνάμει τοῦ Χριστοῦ, μύρον θεῖον ἐκβλύζων, ὅπερ τῶν πιστῶν ἰᾶται νοσήματα καί ἀποδιώκει κακίας πνεύματα.

www.tezaurliturgic.ro

Δόξα Πατρί...

Ην ὑμνοῦσι ἀπαύστως, οἱ χοροί τῶν ἀγγέλων καί δοξάζουσι φόβῳ τήν ἁγίαν Τριάδα προσκυνήσωμεν πάντες, καί χερουβικῶς τόν ὕμνον βοήσωμεν, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καί νῦν...

Τήν ἁγίαν Παρθένον, τήν τεκοῦσαν τῷ κόσμῳ τόν Θεόν ἀπορρήτως καί λυτρώσασαν ἡμᾶς, τῆς φθορᾶς τοῦ θανάτου, πάντες οἱ πιστοί, αὐτήν μακαρίσωμεν, αὕτη γάρ πρεσβεύει σωθῆναι ἅπαντας.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι ὁ Θεός (τρίς)